Οὐδ' ἔσκωψε τοὺς φαλακροὺς, οὐδὲ κόρδαχ' εἵλκυσεν.
Οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη τῇ βακτηρίᾳ
Τύπτει τὸν παρόντ' ἀφανίζων πονηρὰ σκώμματα.
Οὐδ' εἰσῆξε δᾷδας ἔχουσ' οὐδ' ἰοὺ ἰοὺ βοᾷ.
Αλλ' αὐτῇ καὶ τοῖς ἔπεσι πιστεύουσ' ἐλήλυθεν.
Κἀγὼ μὲν τοιοῦτος αὐὴρ ὢν ποιητὴς, οὐ κομῶ.
Οὐδ' ὑμᾶς ζητῶ ἐξαπατᾶν δὶς καὶ τρὶς ταῦτ' εἰσάγων.
Αλλ' ἀεὶ καινὰς ἰδέας εἰσφέρω, σοφίζομαι,
Οὐδὲν ἀλλήλαισιν ὁμοίας καὶ πάσας δεξιάς.
Ος μέγιστον ὄντα Κλέων' ἔπαισ' ἐς τὸν γαστέρα.
Κοὐκέτ' εἰσαῦθις γ' ἐπεπάδησά γ' αὐτῷ κειμένῳ.
Οὔτι δ' ὡς ἅπαξ παρέδωκεν λαβὼ Υπέρβολος,
Τοῦτον δείλαιον κολετρῶσ' ἀεὶ, καὶ τὸν μητέρα.
Εὔπολις μὲν τὸν Μαρικᾶν πρῶτιστον παρείλκυσεν,
Εκστρέψας τοὺς ἡμετέρους ἱππέας κακὸς κακῶς.
Πεφθεὶς αὐτῷ γραῦν μεθύσιν, τὸ κόρδακος οὕνεκα.

A Insectata caluos est, nec saltauit cordacem:
Neque senex, qui metra canit, præsentem baculo ferit,
Amotis è conspectu maledictis mordacibus:
Neque tædiferam introduxit: sed neque heu heu clamitat:
Sed sibiipsa & versibus fidens, in scenam venit.
B Atqui ego vir tantus, Poëta tantus nihil superbio:
Neque vos quærito fallere, bis térque introducendo eadem:
Sed nouas subin' formas infero, argutè & catè
A me inuentas, nihil inter se similes: omnes probas:
Qui etiam magnum illum Cleonem, in vẽtrem olim perculi,
C Neque demum insultaui ipsi tacenti. Verùm hi comici
Nouitij, vt semel dedit ansam ad scribendum Hyperbolus,
Miserum istum semper proculcant, & matrem eius simul.
Eupolis quidem Maricam primùm in scenam protulit,
D Nostrósque EQVITES in alium habitum malè commutauit malus,
Addiditque anum ebriam ad desaltandum Cordacem:

Σχόλια. Τοὺς φαλακρούς.] Εὔπολις ἔσκωψα τοὺς φαλακροὺς, τοῦτο δ' ἐδωρησάμην. Οὐ κόρδαχ' εἵλκυσε] τρία εἴδη ὀρχήσεως. ἐμμέλεια μὲν, τραγικὴ. σίκινις, σατυρικὴ. κόρδαξ, κωμικὴ, ἥτις αἰσχρῶς κινεῖ τὸν ὀσφῦν. Οὐδὲ πρεσβύτης ὁ λέγων.] ὡς Εὔπολις ἐν τοῖς Προσπαταλίοις. ἢ ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα τὸν Ερμίππον. οἱ δὲ Σισέρμιον τὸν ὑποκριτὴν. Τύπτει τὸν παρόντ' ἀφανίζων.] καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἐξῴστας ἔτυπτε τῇ βακτηρίᾳ. τὸ δὲ ἀφανίζων. ὅ ἐστιν ἐκτοπίζων καὶ ὀπφυγὼν τὰ σκώμματα, δι' ὧν ἔδει σωφρονίζειν τοὺς κακῶς πράττοντας, ἐκτὸς ἑαυτοῦ ποιῶν τὰ πονηρὰ σκώμματα. ἢ τὸ ἀφανίζων, ἀντὶ τοῦ ἀφανεῖς ποιῶν. τουτέστι θεικαλύπτων τῷ γέλωτι τὰς εἰκῇ διεσκεμμένας αὐτοῦ κωμῳδίας καὶ εὐτελῶς πεπλασμένας. ἰστέον δὲ ὅτι πάντα ὅσα ἂν λέγῃ, εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγον ἐν τῇ Λυσιστράτῃ. τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξί. τοὺς δὲ φαλακροὺς, ἐν Εἰρήνῃ. τὸν δὲ πρεσβύτην ἐν Ορνισι. τὰς δὲ δᾷδας καὶ τὸ ἰοὺ ἰοὺ ἐν Νεφέλαις τοπρῶτον. Οὐδ' εἰσῆξε δᾷδας.] ἐπὶ ἔστι δῆλος τίνι παρονειδίζει. ἀλλ' ἴσως ἑαυτῷ. ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος κωμῳδοῦν τὸν δι' ἀστειεῖον Σωκράτους, καὶ τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰοὺ. ἐν δὲ ταῖς πρώταις Νεφέλαις, τοῦτο οὐ πεποίηκε. ποιήσει δὲ αὐτὸ μετὰ λόγου. οὗτοι δὲ ἀκαίρως. Αλλ' αὐτῇ.] τῇ διανοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ καὶ τῇ χάριτι τῶν ἐπῶν θαρροῦσα. Οὐ κομῶ] οὐ σεμνυνόμαι. χαριέντως δὲ λέγει ἐπεὶ φαλακρὸς ἦν. Δὶς καὶ τρὶς.] καὶ τοι καὶ αὕτη δευτέρου εἰσήχθη. ἀλλ' ἴσως διαφόρως. δοκοῦσι δὲ καὶ οἱ ἄλλοι κωμικοὶ ὀπὸ τῶν αὐτῶν λημμάτων, τὰ αὐτὰ εἰσάγειν δράματα.

Σχολ. Ος μέγιστον ὄντα.] ὥσπερ ζῶντος αὐτοῦ διαλέγεται ἐν οἷς φησι Κλέωνα τὸν λάρον. καὶ Ανδροτίων δέ φησιν αὐτὸν, ὅτι Αλκαίου τεθνάναι δυσὶν ἔτεσιν ὕστερον. Ιστορεῖ δὲ φησιν ἀφ' οὗ αἱ πρῶαι Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δυνατὸν καὶ τὸν Μαρικᾶ μεμνῆσθαι. ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν ὡς καὶ νῦν αὐτός φησιν. ἐπεὶ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται. ἢ ἐπεὶ οὐ φέρονται αἱ διδασκαλίαι τῶν δύο Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι εἰ Εὔπολις ἐπλάσατο τὸν Κλέωνος τελευτὴν ἐν Μαρικᾷ. Επαισ' ἐς τὸν γαστέρα.] ἔτυψα. ἔγραψε γὰρ καθ' αὐτοῦ τὸν ἱππέας. ἔτυψα ἐν τοῖς ἱππεῦσιν. ἀντὶ τοῦ ἠρκέσθην τῇ πρώτῃ κωμῳδίᾳ. Κολετρῶσ' ἀεί.] κατὰ τὴν κόλον τύπτουσιν. ἢ καταπατοῦσιν. ὀπὸ τῶν τῶν ἐλαίας πατούντων. ἢ τὸ ὀνάλλεσθαι τῇ κοιλίᾳ καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον. δῆλον ὅτι πρῶτος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. Ερατοσθένης δέ φησι Καλλίμαχον ἐκαλεῖν τὰς διδασκαλίας, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, ὡσπερεὶ ἐνταῦθα εἰρημένου, ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτὸν φησιν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εὕρηκεν ἐν ᾗ ταῖς ὕστερον διαπτυσσαθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι ᾗ, δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ σωεῖδεν ὅτι καὶ ἐν τῷ Μαρικᾷ προλετελεύτηκε Κλέων. ἐν ᾗ ταῖς Νεφέλαις λέγεται εἰς τὸ θεοῖσιν ἐχθρὸν τὸ βυρσοδέψιον. Εὔπολις ἐν τοῖς βάτραις τἀναντίον φησιν, ὅτι σωεποίησεν Αριστοφάνης τοὺς Ιππεῖς. λέγει ᾗ τὸν τελευταῖαν ὠφάσασιν. φησὶ ᾗ κἀκεῖνος τοὺς Ιππέας σωεποίησε τῷ φαλακρῷ ἐδωρησάμην. Κλέων ὀποθνήσκει ὑπὸ Αμινίου. πρὸ τοῦ

Bisetus. Ταῦτ' εἰσάγων] οὕτω γραπτέον. τ' αὐτ' εἰσάγων, ἀντὶ τοῦ, τὰ αὐτὰ, ἢ, ταὐτ', ἀντὶ τοῦ ταυτά.